ανοῖς, λοιπὸν τοῦ παντὸς ἔθνους ὡς ἑνὸς ἀνδρὸς κατεκράτησεν, οὐκ ἀναγκαστῶς ἀλλ' ἑκουσίως ἄγων αὐτοὺς εἰς τὴν στενὴν καὶ ἀνάντη τὸν κατὰ Χριστοῦ ὁδόν. Ἤγοντο γὰρ οὐ μόνον ταῖς τῶν αὐτοῦ σοφῶν λόγων καὶ παραινέσεων ἴυγξιν, ἀλλὰ καὶ τοῖς πολλοῖς θαύμασιν, ἃ Χριστὸς ἐπετέλει διὰ τοῦ αὐτοῦ γνησίου θεράποντος. Τυφλοῖς γὰρ καὶ ἀλάλοις τὸ βλέπειν καὶ τρανῶς φθέγγεσθαι ἐχαρίζετο, δαιμονῶντας ἰάσατο, πυρετοὺς δι' ἐπαφῆς καὶ εὐχῆς ἐθεράπευε καὶ παντὸς ἄλλου νοσήματος φυγαδευτὴς ὢν ἑτοιμότατος, ὅθεν καὶ παῖδά τινος διὰ προσευχῆς ἀνέστησεν.

нь̂ во́лєю привóде ı̂̈хъ, къ тѣ́сномоу ı̂ прискрь́бномоу ı̂̈же ô хѣ̃ житїа пꙋ̂тꙋ ı̂̈дѣхꙋ бо не ть́кмо кь прѣмоудри́мь ѐгò словéсемъ, ı̂ повѣ́стемъ поꙋ̂ченїа. нь̂ ı̂ къ мнѡ̂гыи̂ чюдéсемъ ı̂̈х'же хс̃ съврьшаше за своѐго соуще́го ра́ба. слѣпимь бо ı̂ нѣ́мимъ, блюсти ı̂ тврьдо вѣща́ти [1] даро́ваше. бѣ́соущих се ı̂̈сцѣлѧше [2] ı̂ въса́кїе немощи ı̂̈згони́тель бѣше гото́въ. тѣмъ ı̂ ô̂тро́че нѣ́кое мл̃твою [3] въскрѣсѝ.

12. — Τὸν δὲ ῥηθέντα βασιλέα Βουλγάρων Μιχαὴλ οὕτω πειθήνιον τοῖς αὐτοῦ λόγοις ἔσχεν, ὥστε συνεργεῖν αὐτῷ πρός τε ναῶν οἰκοδομάς, καὶ πᾶν ἐκπεραίνειν ἦν ἕτοιμος τὸ προσταττόμενον. Δι' αὐτήν τε ταύτην πρὸς τὸν ἅγιον γνησιότητα καὶ οἰκείωσιν καὶ πρὸς ἀρετὴν ἐπεδίδου καὶ βελτίων ἑαυτοῦ πολλῷ πλέον ἐγένετο.

12. — Нареченнаго цр̃а Бльга́ромь Михаи̂ла. та́ко повинна свои́мь словесéмъ ѐгò ı̂мѣ́аше. ꙗ̂ко сътвѣлати ѐгò цр̃кви за̃тїи. ı̂ въсà сьврьшаѥ тогово повелѣ́ное. за тоу́ю же любо́въ ѐ̃же ı̂мѣ́аше кь ст̃омꙋ. ı̂ къ добродѣ́телиѥма пода́де се. ı̂ бо́лшїи ѿ се́бе мнô̂го лоу́чьшїи [4] бы̃.

13. — Ἔρωτι δὲ ἡσυχίας καὶ θεωρίας ἀμιγοῦς τῶν κάτω τὴν ἐπισκοπικὴν φροντίδα παραιτήσασθαι προαιρούμενον (καὶ γὰρ ἤδη γῆρας ἦν αὐτῷ ὑπὲρ κεφαλῆς) οὐκ ἀφῆκεν ὁ Μιχαήλ, ἀλλ' ἱκετεύων καὶ ποτνιώμενος μόλις κατεδυσώπησε καὶ μέχρι τέλους τῆς ἐκείνου ζωῆς ποιμαντικῶς διεξάγειν αὐτοὺς ἀναπείθει. Εἶχε μὲν οὕτω ταῦτα. Καὶ παντεῖος ἦν, ᾗ καὶ γήρατι καὶ ἀσθενείᾳ ἀνετρύχετο πρὸς τὸ κήδεσθαι τοῦ ποιμνίου καὶ πρὸς ψυχικὴν σωτηρίαν τούτοις καθοδηγεῖν.

13. — Сты̃и же ı̂̈спльни се. любвы безмлъ́вниꙗ. ı̂ прозрѣ́нїемь чистїмъ сѐ бо́лше ı̂̈збрà. хо́тѣше ѿ̂ста́вити ѐпїско́пьскы̀ свои̇ сань. ı̂̈бѡ̀ ı̂ ста́рьство ѐго бѣ́ше па́че главѝ н̑ъ не ô̂ста́ви ѐгò Михаи̂ль. н̑ъ мо́лѥ се мольбно ѐдвà ꙋ̂моли́ его̀ ı̂ до кончи́ни [5] ѐговà животà, па́сти [6] ı̂̈хъ. ı̂мѣ́аше [7] вò сѐ сице ı̂ въса́ко ꙗ̂кь бѣ̀ промы́шлꙗти ô па́ствинѣ [8]. а̂ще ı̂ старо́стию ı̂ немо́щию [9] ô̂бьдрьжи́мь бѣ. къ дш̃евномоу сп̃се́нию си̇хъ наста́влꙗе.

14. — Ἐσοφίσατο δὲ καὶ χαρακτῆρας ἑτέρους γραμμάτων πρὸς τὸ

14. — Моудрь́ствова же ı̂ ѡ̃бразы ı̂̈нїе слове́снїе ꙗ̂влиеннѣ́ишее. па́че

---

1) вѣщаше.
2) бѣсоущихъ се ı̂̈сцѣлꙗаше липсва.
3) мл̃твою липсва.
4) наоучьшїи.
5) кончи.
6) пастир̑ нѡпасты̑.
7) о имеаше.
8) ѐсакоꙗ. б̃ве. промишлꙗты. ѡ̑паст̑вине.
9) мощию.